ὡς δὲ φωνὴν ἀκήκοεν οὗτος Χριστοφορίτου
ἐπέγνω φόνον τὸν αὐτοῦ καὶ φόβῳ συνεσχέθη.
ἀτρόμως δ' ἵππῳ κατεσθείς, φέρων γυμνὴν τὴν σπάθην
Χριστοφορίτου κεφαλὴν ἐθέρισεν αὐτίκα.
οἱ δὲ παρόντες ἔφυγον τὸν φόνον κατιδόντες.

'Εφόνευσεν 'Ισάκιος δεινὸν Χριστοφορίτην.

Ἔτρεχεν οὖν Ἰσάκιος [1] πρὸς τὸν ναὸν τὸν μέγαν
κραυγάζων ἐν ταῖς ἀγυιαῖς· „ἐγὼ Χριστοφορίτην
τὸν τύραννον ἀπέτεμον," δεικνύων καὶ τὴν σπάθην·
ἔνθεν ἐλθὼν πρὸς τὸν ναὸν τῆς τοῦ Θεοῦ σοφίας,
ἐζήτει τὴν συγχώρησιν φόνου τοῦ τολμηθέντος.
πάντα τὰ πλήθη δὲ λαοῦ πρὸς τὸν ναὸν ἐλθόντα
τὸν φονευτὴν Ἰσάκιον στέφουσι βασιλέα.

'Ισάκιος ὁ φονευτὴς σκῆπτρα κρατεῖ Ῥωμαίων.

ὃ καὶ μαθὼν Ἀνδρόνικος εἰσῆλθεν ἐν τῇ πόλει
τάχει παραγινόμενος ἔνδον τοῖς ἀνακτόροις
μάχην αὐτὸς καὶ πόλεμον βουλόμενος ἐνστῆσαι.
ἰδὼν δὲ τὴν παράταξιν πάντων σχεδὸν Ῥωμαίων
ἐληλυθότων κατ' αὐτοῦ σὺν βέλεσι καὶ λίθοις,
αὐτὸς τὸ μέλλον φοβηθεὶς ἐμβὰς ἐν ἀκατίῳ
ἔφευγεν ὁ τριπέμπελος σὺν γυναιξὶ ταῖς δύο [2]·
τὸν δυστηχῆ δ' ἡ θάλασσα κακῶς μαχησαμένη,
προνοίας ταύτης ἄνωθεν τοῦτο προσενεργούσης,
μόλις χηλῇ προσέφθασε τῇ πρὸς τὸν φάρον οὔσῃ
κἀκεῖ φθασάσης τῆς νεὼς τῆς τοῦτον διωξάσης
δέσμιος ἐπανέστρεψεν ἀτίμως ἐν τῇ πόλει·
ὃς παραστὰς κατέμπροσθεν ἄνακτος Ἰσακίου
γυμνός, ἀπερικάλυπτος, σάκκον ἐνδεδυμένος,
ἐκκόπτεται τὸν ὀφθαλμὸν καὶ δεξιὰν τὴν χεῖρα,
παντὸς ἐκεῖσε τοῦ λαοῦ τῆς πόλεως παρόντος·
ὕστερον δὲ καὶ κάμηλον ψωρόεσσαν εὑρόντες
καὶ τοῦτον προσκαθίσαντες γυμνὸν ἐπάνω ταύτης
ταῖς ῥύμαις ἐθριάμβευον, δεικνῦντες ὡς κακοῦργον,
βάλλοντες κατὰ πρόσωπον λίθους, κόπρους ἀνθρώπων.

Κακὰ φρονῶν 'Ανδρόνικος κακὸν εὑρίσκει μόρον.

---

[1] Isaak Angelos gelangt 1185 (12. September) auf den Thron, wird auf Befehl seines Bruders Alexios geblendet den 10. April 1198. Seine Flucht in die Kirche. Nicet. Acom. p. 446. Wird vom Volke zum Kaiser ausgerufen. ibid. p. 450. 453.

[2] Andronikos regierte von 1183 bis zum 12. September 1185. Seine Flucht. Nicet. p. 448. Gefangennehmung. ibid. 453. Schmähliche Behandlung und Tod. ibid. 455. 458.